# 104 Texte Protagoras

πάντων χρημάτων μέτρον ἐστὶν ἄνθρωπος,
τῶν μὲν ὄντων ὡς ἔστιν,
τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν.

Sextus Empiricus, 2. Jhdt.

Homo-mensura-Satz
Ge.Pl.n. von τὰ ὄντα das Seiende

περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι,
οὔθ' ὡς εἰσὶν οὔθ' ὡς οὐκ εἰσὶν
οὔθ' ὁποῖοί τινες ἰδέαν·
πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι
ἥ τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου.

(Diog. Laert. 9,51 über Protagoras, 3. Jhdt.)

ἔχω hier: bin in der Lage, vermag
οὔθ' vor ὡς: Elision und Assimilation
erg. εἰσίν - ἰδέαν: adv.Akk. 'bezüglich ...'
erg. ἐστίν - εἰδέναι zu κωλύοντα
βραχὺς ὢν: prädik. zu ὁ βίος

Ὁ Πρωταγόρας λέγει σχεδὸν κατὰ Πλάτωνα·
ἡ ἀλήθεια ἔχει οὕτως·
μέτρον γὰρ ἕκαστος ἡμῶν ἐστι τῶν τε ὄντων καὶ μή.
μυρίον μέντοι διαφέρει ἕτερος ἑτέρου αὐτῷ τούτῳ,
ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ ἄλλα.
καὶ οὐ λέγω, ὅτι σοφία καὶ σοφὸς ἀνὴρ οὐκ ἔστι,
ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν,
ὅς τινα ἡμῶν,
  ᾧ φαίνεταί τι καὶ ἔστι κακόν,
μεταβάλλει εἴς τινα,
  ᾧ τὸ αὐτὸ χρῆμα φαίνεται καὶ ἔστι ἀγαθόν.

(nach Plat. Theait. 166d ff.)

ἔχει: verhält sich, es verhält sich mit ...
αὐτῷ τούτῳ: adv.Dat.: durch eben dies
Dat. hier (wie oft) mit "für" übersetzen
ὅς, ἥ, ὅ Relativpron. der, die das
ᾧ Dat.Sg.m. des Relatipron.

Καὶ σχεδὸν κατὰ γραμματικόν τινα Βυζάντιον·
Διδάσκω τοὺς μαθητὰς
  τὸν αὐτὸν ἄνθρωπον ψέγειν καὶ ἐπαινεῖν
  καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν.

(nach Stephanos von Byzanz, 6. Jhdt.)

ποιέω m. dopp.Akk: etw. zu etw. machen
ἥττω Akk.Sg.m. schlechter, schwächer
κρείττω Akk.Sg.m. besser, stärker

Originaltexte:
ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν, ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή, μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω τὸ μὴ φάναι εἶναι, ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσῃ ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. (Plat. Theait. 166d ff. )

Πρωταγόρας, ὃν Εὔδοξος ἱστορεῖ τὸν ἥσσω καὶ κρείσσω λόγον πεποιηκέναι καὶ τοὺς μαθητὰς δεδιδαχέναι τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν. (Stephanos v. Byzanz s.v. Ἄβδηρος) {Cap.325, Schirn.110}

## Das Indefinitpronomen (enklitisch)

| irgendwer ein/eine | irgendwas etwas | | einige | einiges |
|---|---|---|---|---|
| τις | τι | Nom. | τινές | τινά |
| τινός | | Gen. | τινῶν | |
| τινί | | Dat. | τισί(ν) | |
| τινά | τι | Akk. | τινάς | τινά |